www.tezaurliturgic.ro



# ΑΚΟΛΟΥΘΕΙΑ
## ΤΗΣ ΚΟΙΝΗΣ ΠΑΡΑΚΛΗΣΕΩΣ,
## ΤΟΥ ΤΙΜΙΟΥ
## ΚΑΙ ΖΩΟΠΟΙΟΥ ΣΤΑΥΡΟΥ.

Τοῦ Θεανθρώπου Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

Εὐλογήσαντος τοῦ Ἱερέως, Ἀρχόμεθα τό, Κύριε Εἰσάκουσον τῆς. Εἶτα τό, Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν.

Εἰς ἦχον. α΄.

ΣΩσον Κύριε τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς εὐσεβέσι κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττων διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

Δόξα τὸ αὐτό. Καὶ νῦν Θεοτοκίον.

ΟἹ τὴν σὴν προστασίαν κεκτημένοι Ἄχραντε, καὶ ταῖς σαῖς ἱκεσίαις τῶν δεινῶν ἐκλυτρούμενοι, τῷ Σταυρῷ τοῦ Υἱοῦ σου ἐν παντὶ φρουρούμενοι, κατὰ χρέος σε πάντες εὐσεβῶς μεγαλύνομεν. Εἶτα τόν, Ν΄. ὁ Κανὼν τοῦ Τιμίου Σταυροῦ.

Ὠδὴ, α΄. ἦχος, πλ. δ΄. Ὑγρὰν διοδεύσας.

ΠΟλλοῖς συνεχόμενος πειρασμοῖς, πρὸς σὲ καταφεύγω σωτηρίαν ἐπιζητῶν, Σταυρὲ τοῦ Σωτῆρος ζωηφόρε, τῶν δυσχερῶν, καὶ δεινῶν με διάσωσον.

Σταυρὲ τοῦ Χριστοῦ σῶσον ἡμᾶς τῇ δυνάμει σου.

ΠΑθῶν με ταράττουσι προσβολαί, πολλῆς ἀθυμίας, ἐμπιπλῶσαί μου τὴν ψυχήν, εἰρήνευσον Σταυρὲ τῇ γαλήνῃ, τοῦ ἐπὶ σοὶ προσπαγέντος Θεοῦ ἡμῶν.

www.tezaurliturgic.ro



Δόξα.

Ἔχων προσηλώμενον τὸν Χριστὸν, Σταυρὲ ζωηφόρε, λύτρωσαί με τῶν συμφορῶν, Σοὶ γὰρ νῦν προσφεύγων ἀματείνω, καὶ τὴν ψυχὴν καὶ τὴν διάνοιαν. Καὶ νῦν.

Νοσοῦντα τὸ σῶμα καὶ τὴν ψυχὴν, ἐπισκοπῆς θείας, καὶ προνοίας τῆς παρὰ σοῦ, ἀξίωσον Λόγε δυσωπῶ σε, ὡς δι' ἐμὲ τῷ Σταυρῷ προσπηγνύμενος.

Ὠδὴ, γ'. Οὐρανίας ἀψῖδος.

Προστασίαν καὶ σκέπην ζωῆς ἐμῆς τίθημι, σὲ τὸ κοσμοπόθητον Ξύλον καὶ ζωοπάροχον, σύ με ὁδήγησον, πρὸς τὴν ζωὴν τὴν ἀγήρω, ὡς τὸν ζωῆς αἴτιον φέρων Σταυρούμενον.

Ἱκετεύω Σταυρέ μου, τὸν ψυχικὸν τάραχον, καὶ τῆς ἀθυμίας τὴν ζάλην διασκεδάσαι μου, σὺ γὰρ Πανάγιε, τὸν ἀρχηγὸν τῆς γαλήνης, τὸν Χριστὸν ἐβάστασας σαρκὶ Σταυρούμενον.

Χαλεπαῖς ἀῤῥωστίαις, καὶ νοσεροῖς πάθεσιν, ἐξεταζομένῳ Σταυρέ μου σύ μοι βοήθησον, τῶν ἰαμάτων γὰρ ἀνέλλιπῆ σε γινώσκω, θησαυρὸν Πανάγιε τὸν ἀδαπάνητον.

Ὑεργέτα Σωτήρ μου, καὶ τῶν καλῶν πάροχε, τῆς εὐεργεσίας τὸν πλοῦτον πᾶσιν ἀνάβλυσον, πάντα γὰρ δύνασαι, τῇ σῇ ἰσχύϊ Χριστέ μου, Σταυρῷ προσηλώμενος ὡς Παντοδύναμος.

Διάσωσον ἀπὸ κινδύνων, τοὺς δούλους σου Ἰησοῦ μου, ὅτι πάντες, διὰ Σταυροῦ εἰς σὲ καταφεύγομεν, τὸν σώζοντα τῶν ἀνθρώπων τὸ γένος.

Ἐπίβλεψον ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε.

Εἶτα Μνημονεύει ὁ Ἱερεὺς, καὶ ψάλλομεν τὸ, Κύριε ἐλέησον.

Καὶ εὐθὺς Τροπάριον. ἦχος, β'.

Τὸν ζωοποιὸν Σταυρὸν τῆς σῆς ἀγαθότητος, ὃν ἐδωρήσω ἡμῖν τοῖς ἀναξίοις Κύριε, σοὶ προσάγομεν εἰς πρεσβείαν. ῥῦσαι ἡμᾶς κινδύνων καὶ θλίψεων, διὰ τῆς Θεοτόκου μόνε φιλάνθρωπε.



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

www.tezaurliturgic.ro



Ὠδὴ, δ'. Εἰσακήκοα Κύριε.

Τῶν παθῶν μου τὸν τάραχον, ὁ τὸν Κυβερνήτην ἔχων Σταυρούμενον, καὶ τὸν κλύδωνα κατεύνασον, τῶν ἐμῶν πταισμάτων Σταυρὲ Τίμιε.

Σταυρὲ τοῦ Χριστοῦ σῶσον ἡμᾶς τῇ.

Οἱ ἐλπίδα καὶ στήριγμα, καὶ τῆς σωτηρίας τεῖχος ἀκράδαντον, κεκτημένοι σε Πανσέβαστε, δυσχερείας πάσης ἐκλυτρούμεθα.

Εὐσπλαγχνίας τὴν ἄβυσσον, ἐπικαλουμένῳ τῆς σῆς παράσχου μοι, ὁ Σταυρόν τε καὶ τὸν θάνατον, ὑπομείνας δι' ἐμὲ Φιλάνθρωπε.

Ἐπὶ κλίνης ὀδύνης μου, καὶ τῆς ἀῤῥωστίας κατακειμένῳ μοι, ὦ Φιλάνθρωπε ἀνάστησον τῇ δυνάμει τοῦ Σταυροῦ, καὶ σῶσόν με.

Ὠδὴ, ε'. Φώτισον ἡμᾶς.

Ἔμπλησον Σταυρὲ εὐφροσύνης τὴν καρδίαν μου, τὴν αἰωνίζουσαν παρέχων χαρὰν, χαρὰν τὴν ὄντως τὸν Χριστὸν ἔχων Σταυρούμενον.

Λύτρωσαι ἡμᾶς, ἐκ κινδύνων ὁ Σταυρὸς τοῦ Χριστοῦ, ὁ αἰωνίαν πηγάζων λύτρωσιν, τοῦ Σταυρωθέντος τῇ δυνάμει Πανσεβάσμιε.

Λῦσον τὴν ἀχλὺν τῶν πταισμάτων μου Πανάγιε, τῇ ἀστραπῇ τῆς σῆς λαμπρότητος, ὡς σχηματίζων τοῦ Κόσμου φῶς Σταυρὲ πάντιμε. Θεοτοκίον.

Ἴασαι Ἁγνὴ τῶν παθῶν μου τὴν ἀσθένειαν, ἐπισκοπῆς σου ἀξιώσασα, καὶ τὴν ὑγείαν τῇ πρεσβείᾳ σου παράσχου μοι.

Ὠδὴ, ς'. Τὴν Δέησιν ἐκχεῶ πρὸς Κύριον.

Ἐν κλίνῃ νῦν ἀσθενῶν κατάκειμαι, καὶ οὐκ ἔστιν ἴασις τῇ σαρκί μου, ἀλλ' ὁ Θεὸν τὸν Σωτῆρά μου φέρων, θείᾳ βουλήσει ἐν σοὶ καθηλούμενον, ἀνάστησόν με ἐκ φθορᾶς νοσημάτων Σταυρὲ Πανσεβάσμιε.

Τὰ νέφη τῶν λυπηρῶν ἐκάλυψαν, τὴν ἀθλίαν μου ψυχὴν καὶ καρδίαν, καὶ σκοτασμόν μοι ἀεὶ ἐμποιοῦσιν,

www.tezaurliturgic.ro



ἀλλ᾿ ὦ Σταυρὲ τοῦ Κυρίου πολύολβιε, ἀπέλασον ταύτας μακράν, τῇ σεπτῇ ἀηττήτῳ δυνάμει σου.

Ε᾿Κύκλωσαν αἱ τοῦ βίου με ζάλαι, ὥσπερ μέλισσαι κηρίον Σταυρέ μου καὶ τὴν ἐμὴν καταισχῦσαι καρδίαν, κατατιτρώσκουσι βέλει τῶν θλίψεων, ἀλλ᾿ εὐρριμίσε βοηθὸν καὶ διώκτην καὶ ῥύστην Παμάγιε.

Η῾ Παμάγνος Θεοτόκος Μαρία, τῷ Σταυρῷ τοῦ Ι᾿ησοῦ παρεστῶσα, σὺν μαθητῇ, Ι᾿ωάννη καὶ φίλῳ, δακρυῤῥοοῦσα ἐβόα στενάζουσα, πῶς θνήσκεις γλυκύτατε Υἱὲ πάντας θέλων ζωῶσαι ὡς εὔσπλαγχνος.

Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου Ι᾿ησοῦ μου.

Ε᾿πίβλεψον ἐν εὐμενείᾳ Παναύμνητε Θεοτόκε.

Ο῾ Ι῾ερεὺς μνημονεύει, καὶ μετὰ τὴν Ε᾿κφώνησιν εὐθὺς

Τροπάριον, ἦχος, β΄.

Τὸν ζωοποιὸν Σταυρὸν τῆς σῆς ἀγαθότητος.

Ζήτει ἔμπροσθεν. Προκείμενον, ἦχος, δ΄.

Εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν.

Στίχ. Α῎σατε τῷ Κυρίῳ ᾆσμα καινόν.

Ο῾ Ι῾ερεύς.

Ο῞τι Α῞γιος εἶ ὁ Θεὸς ἡμῶν, καὶ ἐν ἁγίοις ἐπαναπαύῃ.

Πᾶσα πνοὴ, Αἰνεσάτω τὸν Κύριον.

Εὐαγγέλιον, Ε᾿κ τοῦ κατὰ Ι᾿ωάννην Α῾γίου Εὐαγγελίου.

Τὸ Α᾿νάγνωσμα.

Ζήτει Σεπτεμβρίῳ. Κ ϛ΄.

Τῷ καιρῷ ἐκείνῳ εἱστήκεισαν παρὰ τῷ Σταυρῷ τοῦ Ι᾿ησοῦ ἡ Μήτηρ αὐτοῦ, καὶ ἡ ἀδελφὴ τῆς μητρὸς αὐτοῦ, Μαρία ἡ τοῦ Κλωπᾶ, καὶ Μαρία ἡ Μαγδαληνή. Ι᾿ησοῦς οὖν ἰδὼν τὴν Μητέρα, καὶ τὸν Μαθητὴν παρεστῶτα ὃν ἠγάπα, λέγει τῇ Μητρὶ αὐτοῦ, Γύναι ἴδε ὁ Υἱός σου. Εἶτα λέγει τῷ Μαθητῇ, Ι῎δου ἡ Μήτηρ σου. Καὶ ἀπ᾿ ἐκείνης τῆς ὥρας, ἔλαβεν ὁ μαθητὴς αὐτὴν εἰς τὰ ἴδια. Οὗτος ἐστὶν ὁ μαθητὴς ὁ

μαρ-

www.tezaurliturgic.ro



μαρτυρῶν περὶ τούτων, καὶ γράψας ταῦτα, καὶ οἴδαμεν ὅτι ἀληθὴς ἐστὶν ἡ μαρτυρία αὐτοῦ. Ταῦτα δὲ γέγραπται, ἵνα πιστεύητε, ὅτι Ἰησοῦς ἐστὶν ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ, Καὶ ἵνα πιστεύοντες ζωὴν ἔχητε ἐν τῷ ὀνόματι αὐτοῦ.

Δόξα.

Ἐν τῇ ἀηττήτῳ δυνάμει τοῦ Σταυροῦ σου, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ προσόμοιον.

Ἦχος, πλ. β΄. Ὅλην ἀποθέμενοι.

ΣΥ μου καταφύγιον, σύ μου καὶ σκέπη ὑπάρχεις, ἰσχὺς καὶ ὀχύρωμα, σύ μου ἀπολύτρωσις καὶ βοήθεια, καὶ συμμαχία μου, κράτος καὶ στήριγμα, τοῦ Χριστοῦ Σταυρὲ τρισόλβιε, καὶ τεῖχος ἄρρηκτον, δόξα εὐφροσύνης καὶ καύχημα, ἐλπίς μου καὶ ἀντίληψις, καὶ τῆς ἀθυμίας παράκλησις, λιμὴν σωτηρίας, πρὸς ὅρμον ὁδηγῶν τῶν ἀγαθῶν, τὴν ζάλην καταπαύων μου, τῶν παθῶν Παμάγιε.

ΟΥ'δεὶς προστρέχων ἐπὶ σοὶ κατῃσχυμένος ἀπὸ σοῦ ἐκπορεύεται, Χριστὲ Σταυροῦ τῇ πεποιθήσει, ἀλλ' αἰτεῖται τὴν χάριν, καὶ λαμβάνει τὸ δώρημα, πρὸς τὸ συμφέρον τῆς αἰτήσεως.

Ὠδή, ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

ΤΗ'ν ἡμῶν σωτηρίαν, ὡς ἠθέλησας Σῶτερ οἰκονομήσασθαι, τὰ πάθη κατεδέξω, Σταυρόν τε καὶ τὴν Λόγχην καὶ ταφὴν τὴν τριήμερον, τῷ σῷ θανάτῳ Χριστὲ, ἡμᾶς ἀθανατίζων.

ΘΗσαυρὸν σωτηρίας, καὶ πηγὴν ἀφθαρσίας τὸν σὸν Σταυρὸν ἀγαθὲ, καὶ πύργον ἀσφαλείας, καὶ θύραν μετανοίας τοῖς κραυγάζουσιν ἔδειξας, ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

ΘΕλητὰ τοῦ ἐλέους, ἐν Σταυρῷ ἀνηρτήθης, δι' εὐσπλαγχνίαν Χριστὲ, ὅθεν ῥύσαι πταισμάτων, ψυχῆς τε μολυσ-

www.tezaurliturgic.ro



λυσμάτων, τὸν ἐν πίστει σοι κράζοντα, ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Σωμάτων μαλακίας, καὶ ψυχῶν ἀῤῥωστίας Θεογεννήτρια, τῶν πόθῳ προσιόντων, τῇ σκέπῃ σου τῇ θείᾳ, θεραπεύειν ἀξίωσον, ἡ τὸν Σωτῆρα Χριστὸν ἡμῖν ἀποτεκοῦσα.

Ὠδὴ η΄. Τὸν Βασιλέα τῶν Οὐρανῶν.

Τῶν πειρασμῶν σὺ τὰς προσβολὰς ἐκδιώκεις, καὶ παθῶν τὰς ἐφόδους Σταυρέ μου, τῇ ἐν σοὶ παγέντος δυνάμει ἀηττήτῳ.

Τῶν ἰαμάτων τὸ δαψιλὲς ἐπιχέεις, τοῖς πιστῶς ὑμνοῦσί σε Σταυρέ μου, καὶ ὑπερυψοῦσι, Χριστὸν εἰς τοὺς αἰῶνας.

Τῇ σημειώσει τοῦ Σταυροῦ σου Χριστέ μου, τοῦ Παρακλήτου χορηγεῖται ἡ χάρις, καὶ ἀποσοβεῖται ἐνέργεια δαιμόνων.

Τοὺς βοηθείας τοῖς παρὰ σοῦ δεομένους, μὴ παρίδῃς Χριστὲ ἀνυμνοῦντας, καὶ ὑπερυψοῦντας τὸν ἄχραντον Σταυρόν σου.

Ὠδὴ θ΄. Ὁ Εἱρμός.

Κυρίως Θεοτόκον, σὲ ὁμολογοῦμεν, οἱ διὰ σοῦ σεσωσμένοι Παρθένε Ἁγνή, σὺν ἀσωμάτοις Χορείαις Σὲ μεγαλύνομεν.

Φωτός σου ταῖς ἀκτῖσι, λάμπρυνον Σταυρέ μου, τὸ ζοφερὸν τῆς ἀγνοίας διώκων ἀεί, τοὺς εὐσεβῶς ἀνυμνοῦντας καὶ προσκυνοῦντάς σε.

Λιμήν τε καὶ προστάτης, τοῖς σοὶ προσφυγοῦσι, Σταυρὲ γενοῦ μοι, καὶ τεῖχος ἀκράδαντον, καταφυγή τε καὶ σκέπη καὶ ἀγαλλίαμα.

Σταυροῦ σου τῇ δυνάμει, δώρησαι Χριστέ μου, ἁμαρτιῶν τῶν πολλῶν μου τὴν ἄφεσιν, εὐχαριστήριον ὅπως ὕμνον προσάξω σοι.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ

www.tezaurliturgic.ro



ΟΥ'κ ἔχω τὶ προσάξαι, Λόγε εἰς πρεσβείαν, εἰ μὴ τὴν ἄχραντον θείαν Μητέρασου, καὶ τὸν Σταυρόν σου τῇ Λόγχῃ, δι' ὧν καὶ σέσωσμαι.

ΧΑρᾶς μου τὴν καρδίαν, πλήρωσον Παρθένε, ἡ τῆς χαρᾶς δεξαμένη τὸ πλήρωμα, τῆς ἁμαρτίας τὴν λύπην ἐξαφανίσασα.

Καὶ εὐθύς. Ἄξιον ἐστὶν ὡς ἀληθῶς.

Καὶ τὰ παρόντα.

ΥΜνῶσου τὴν Σταύρωσιν ἀγαθὲ, ὑμνῶσου τὰ Πάθη, προσκυνῶσου καὶ τὴν ταφὴν, τοὺς ἥλους, τὴν λόγχην, τὸν κάλαμον, τὸν σπόγγον, τὰ πάντα προσκυνῶσου, Σῶτερ μακρόθυμε.

ΘΕ'λων ἐσταυρώθης, ὦ Λυτρωτὰ, καὶ ἐτραυματίσθης, ὑπεράγαθε δι' ἐμὲ, καὶ Λόγχῃ ἐτρώθης, τὴν ἄχραντον πλευράν σου, ὑμνῶ τὰ μεγαλεῖα, τῆς σῆς Θεότητος.

ΤΟὺς τετειχισμένους τῷ σῷ Σταυρῷ, καὶ ἐγκαυχωμένους, τοῖς παθήμασί σου Σωτὴρ, στήριξον ἐν Πέτρᾳ τῶν ἐντολῶν σου Λόγε, ἀξίους ἀναδείξας τῆς Βασιλείας σου.

ΧΑῖρε σκῆπτρον ἅγιον τοῦ Χριστοῦ, Σταυρὲ ζωηφόρε, καύχημα τῶν Χριστιανῶν, Ἀνάκτων τὸ κλέος, καὶ δόξα Ἱερέων, δαιμόνων καθαιρέτα, Σταυρὲ Πανάγιε.

ΧΑίροις τὸ τριπόθητον τοῦ Σταυροῦ, Πανάγιον Ξύλον, ζωηφόρε θεῖε Σταυρὲ, ἐν σοὶ γὰρ ὁ πάντων, Θεός τε, καὶ Δεσπότης, ἐξέτεινε τὰς χεῖρας διὰ τὸ σῶσαι ἡμᾶς.

ΔΕ'σποινα καὶ Μήτηρ τοῦ Λυτρωτοῦ, δέξαι παρακλήσεις ἀναξίων σῶν οἰκετῶν, ἵνα μεσιτεύσῃς πρὸς τὸν ἐκ σοῦ τεχθέντα, ὦ Δέσποινα τοῦ Κόσμου γενοῦ μεσίτρια.

Πᾶσαι τῶν Ἀγγέλων αἱ Στρατιαί.

Τὸ Τρισάγιον. Ὅτι σοῦ ἐστίν.

www.tezaurliturgic.ro



Καὶ τὰ Τροπάρια ταῦτα. ἦχος, πλ. β′.

Ἐλέησον ἡμᾶς Κύριε ἐλέησον.

Δόξα.

Κύριε ἐλέησον ἡμᾶς ἐπὶ σοί.

Καὶ νῦν.

Τῆς εὐσπλαγχνίας τὴν πύλην.

Ὁ Ἱερεύς.

Ἐλέησον ἡμᾶς ὁ Θεός.

Καὶ ὑπὲρ τοῦ διαφυλαχθῆναι τήν.

Καὶ τὰ λοιπά, καὶ Ἀπόλυσις:

# Τ Έ Λ Ο Σ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ